Χο.αν'. Τουτὶ τί τὸ πρᾶγμα ἡμῖν ἀπροσδόκητον ἥκει.

Εσμὸς γυναικῶν οὗτοι θύραθεν αὖ βοηθεῖ.

Χο.Γυν. Τί βλύλλετ' ὑμᾶς; ὑστέρου πολλαὶ δοκοῦμεν εἶναι.

Καὶ μὴν μέρος γ' ἡμῶν ὁρᾶτ' οὔπω τὸ μυριοστόν.

Χο.αν'. Ω Φαιδρία. πάντας λαλεῖν ἐάσομεν ταῦτα;

Οὐ παρακατάξαι τὸ ξύλον τύπτοντ' ἐχρῆν τιν' αὐτάς;

Χο.Γυν. Θώμεθα δὴ τὰς κάλπιδας χ' ἡμεῖς. ὅπως αὖ

Ην προσφέρῃ πὴν χεῖρά τις, μὴ τοῦτό μ' ἐμποδίζῃ.

Χο.αν'. Εἰ νὴ Δία τὰς γνάθους τούτων τις ἢ δὶς ἢ τρίς

Εκοψεν ὥσπερ βυπάλυ, φωνὴ αὐ οὐκ αὐ εἶχον.

Στρ. Καὶ μὴν ἰδοὺ παρέξειμι τὶς. καὶ σοῦ ἐγὼ παρέξω.

Κυ μήποτ' ἄλλη σοῦ κύων τῆς ὄρχεων λάβῃ.

Χο.αν'. Εἰ μὴ σιωπήσῃ θένων ἐκκοκκιῶ τὴν γῆρας σου.

Στρ. Απτυ μόνον Στρατυλλίδος τῆς δακτύλῳ προσῄδειν.

Χο αν'. Τί δ' ἢ ἀποδῶ τοῖς δακτύλοις, τί μ' ἐργάσῃ τὸ δεινόν;

Στρ. Βρύκουσά σου σοῦ πνεύμονας καὶ τ' αὖτερ' ἐξαμήσω.

Χο.αν'. Οὐκ ἔς' ἀνὴρ Ευριπίδου σοφώτερος ποιητής.

Οὐδὲν γὰρ ὧδι θρέμμ' αἰσχρὸν ἐστιν, ὡς γυναῖκες.

CH.S.V. *Quid hoc negotij ingruit? repente nobis*

En fœminarum examina adiutantia huc propinquant.

CH.M. *Quid temnitis nos? forsitan videmur esse paucæ.*

At non decem-millesimam cohortium videtis.

CH.S.V. *O Phædria, an sinemus has garrire tam superbè?*

Non frangere his oportuit fustem reuerberandis?

CH.M. *Ponamus & nos hydrias, vt si manus quis*

Nobis nocentes inferat, nil impedire possit.

CH.S.V. *At per Iouem si bis ve terve verberentur*

Istis genæ (vt mulis solet) vox clara desit ipsis.

STR. *Accedat ergo verberator, præbeo os & adsto,*

Faxo vt canis te nulla porrò testibus prehendat.

CH.S.V. *At, ni taces, displuuerabo iam tuam senectam.*

STR. *Tantùm Stratyllida attigas, & indicem propinques.*

CH.S.V. *Quid si manu te comprimam? quod mi malum parabis?*

STR. *Euiscerem te protinam pulmonibus voratis.*

CH.S.V. *Iam nullus est Euripida præstantior poeta*

Qui fœminis nil censet impudentius per orbem.

BISETVS. Τυτὶ τί τὸ πρᾶγμα.] ὅδε ὁ στίχος πεπήρωται. ὁλόκληρος δ' ἂν καλῶς εἴη, εἰ οὕτω γράφοιτο, μετ' ἐπερωτήσεως.

Τυτὶ τί τὸ πρᾶγμ' ἡμῖν τὸ παν' ἀπροσδόκητον ἥκει;

ὁ δὲ χορὸς γερόντων ἀπρονοήτως ὁρῶν τὸ τῆς γυναικῶν πλῆθος, αἳ εἰς βοήθειαν τῆς πολιορκουμένων παρεσκευάζοντο, ταῦτα λέγει. Εσμὸς γυναικῶν.] μεταφορικῶς γυνῶν, ἀντὶ τοῦ πλῆθος. ὄχλος. κυρίως δὲ ἐσμὸς δασυτόνως, τὸ σμῆνος τῆς μελισσῶν. ἀφὰ τὸ ἅμα πεπτομένας ἴεσθαι. Σ.Εὖς. Θυρᾶσιν.] γραπτέον θύρασιν, ὡς ἐν Εἰρήνῃ. θύρασι δὲ, πρὸ τῆς θυρῶν. ἢ ἀφὰ τοῦ θύραις. ἢ ἐξ ἑτοίμου, ὡς τὸ Σοῦδας ἑρμηνεύει. βέλτιον δ' ἴσως θύραισι γράφειν. Τί βλύλλετ' ἡμᾶς;] εὐτελίζετε. φοβεῖσθε. τρέμετε. Σ. καὶ βλύλλειν, δεδιέναι, τρέμειν, ἢ βδεῖν. Ησυχ. ἄλλως. βδύλλεσθαι τὸ ὑπὸ τοῦ φόβου βδεῖν, ὡς πέρδειν. Οὐ παρακατάξαι.] ταῦτα οὕτω σύνταξον. οὐκ ἐχρῆν τινα παρακατάξαι τὸ ξύλον, πῶς; τύπτοντ' αὐτάς. ἵνα τὸ τύπτοντα πρὸς τὸ τινα σύναπτῃς. ἀντὶ τοῦ, οὐκ ἔδει πάλαι τινὰ ἡμῶν τῷ ξύλῳ τύπτοντα αὐτὰς, τὸ ξύλον τῆς πληγαῖς παρεκταρρήξαι, παρεκλαγνύω. παρεκταγνυμι, παρεκλάω. ἀφὰ τὸ παρεκτάγω, τὸ παρεκτα ρρήγνυμι. ἢ παρὲ, νῦν τὸ πανταχόθεν δηλοῖ. Θώμεθα δή.] καὶ ὅδε ὁ στίχος ἐκλιπής ἐστι. καλῶς γὰρ ἀπαρτιθήσεται, εἰ τὸ ἡμῖν προστιθῆς γράφων οὕτω.

Θώμεθα δὴ τὰς καλπίδας χ' ἡμεῖς, ὅπως αὖ ἡμῖν

Ην προσφέρῃ πὴν χεῖρά τις. καὶ τὰ ἑξῆς.

Εἰ νὴ Δία.] καὶ τοῦτο τὸ στίχου ἐκλελειμμένον, καὶ διεφθαρμένον ἢ γραφὴ δῆλός ἐστιν. ἀλλὰ μεταθέσει τινῶν λέξεων, καὶ μιᾶς προσθήκῃ, καλῶς ἐκπληρωθήσεται οὕτως,

Εἰ νὴ Δία τὰς τούτων γνάθους, τὶς ἡμῶν ἢ δὶς ἢ τρίς

Εκοψεν. ὡς τὰ ἑξῆς.

βύπαλος γὰρ, ὁ ὄνος. Σ. τινὲς γὰρ, βυβάλυ γραπτέον οἷον. βύβαλος γὰρ, καὶ βύβαλις, ὡς δάμαλις, εἶδος ζώου. Θένων ἐκκοκιῶ.] θένων, κόπτων, τύπτων. ἐκκοκιῶ γὰρ, ἐκκοκίσω, ἐξεντερεύσω. ἀπὸ μεταφορᾶς ῥοιῶν τῆς τοὺς κόκκους καθαιρουμένων. ἄλλως. τὸ σου γῆρας; ὡς τῆς ῥοιῶν κόκκους τρίψας πληγαῖς ἐκβλήσω. ἰστέον ὀλέσω. Τί δ' ἢ ἀποδῶ.] ἀποδεῖν, τύπτειν, κόπτειν. Τ' ἄντερα.] γράφεται καὶ τὰ ἔνδερα. ἀντὶ τοῦ, τὰ ἔντερα. ἐξαμήσω δὲ, ἀποκόψω, ἀποτεμῶ. ἀπὸ μεταφορᾶς τῆς ἀμώντων, καὶ θερίζοντων, καὶ τὴν θερισμὸν ἐξαμώντων. ἤγουν ἐκτεμνόντων, καὶ χαμαὶ τιθέντα βαλλόντων. Ευριπίδου σοφώτερος] καὶ τὸ θρυλλούμενον,

Σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Ευριπίδης.

Ανδρῶν γὰρ πάντων Σωκράτης σοφώτατος.

CHR.